# ΕΠΙΓΡΑΜΜΑΤΑ ΤΙΝΑ ΣΠΟΡΑΔΗΝ ΣΙΓΚΟΜΙΣΘΕΝΤΑ.

## ΕΙΣ ΤΟΝ ΑΝΘΡΟΠΙΝΟΝ ΒΙΟΝ.

Ποσειδίππου, οἱ δὲ Κράτητος τοῦ κυνικοῦ.

ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν,
νείκεα, καὶ χαλεπαὶ πρήξιες. ἐν δὲ δόμοις,
φροντίδες. ἐν δ' ἀγροῖς, καμάτων ἅλις ἐν δὲ θαλάσσῃ
τάρβος. ἐπὶ ξείνης δὲ, ἢν μὲν ἔχῃς τι, δέος.
ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον; οὐκ ἀμέριμνος
ἔσσεαι. οὐ γαμέεις; ζῇς ἔτ' ἐρημότερος.
τέκνα, πόνοι. πήρωσις, ἄπαις βίος. αἱ νεότητες,
ἄφρονες. αἱ πολιαὶ δὲ, ἔμπαλιν ἀδρανέες.
ἦν ἄρα τοῖν δυοῖν ἑνὸς αἵρεσις. ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

ἐκ τοῦ ἐναντίου πιθανὰ Μητροδώρου.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν,
κύδεα, καὶ πινυταὶ πρήξιες. ἐν δὲ δόμοις,
ἄμπαυμ'. ἐν δὲ ἀγροῖς, φύσιος χάρις. ἐν δὲ θαλάσσῃ
κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τί, κλέος.
ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄριστος
ἔσσεται. οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
τέκνα, πόθος. ἄφροντις, ἄπαις βίος. αἱ νεότητες,
ῥωμαλέαι. πολιαὶ δὲ, ἔμπαλιν εὐσεβέες.

οὐκ

οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις. ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

Ἀρχίου.

Θρήικας αἰνείτω τις, ὅτι στοναχεῦσι μὲν υἷας
μητέρος ἐκ κόλπων πρὸς φάος ἐρχομένους.
ἔμπαλι δ' ὀλβίζουσιν, ὅσους αἰῶνα λιπόντας
ἀπροϊδὴς κηρῶν λάτρις ἔμαρψε μόρος.
οἱ μὲν γὰρ ζώοντες, ἀεὶ παντοῖα περῶσι
ἐς κακά. τοὶ δὲ, κακῶν εὗρον ἄκος φθίμενοι.

Λουκιανοῦ.

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς.
ἢν δὲ μή, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

Παλλαδᾶ.

γῆς ἐπέβην γυμνός, γυμνός θ' ὑπὸ γαῖαν ἄπειμι.
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

τοῦ αὐτοῦ.

εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου. εἰ δ' ἀγανακτεῖς
καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

Λουκιανοῦ.

ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτέ, νῦν δὲ Μενίππου.
καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
καὶ γὰρ ἐκεῖνος ἔχειν μέ ποτ' ᾤετο, καὶ πάλιν οὗτος
οἴεται. εἰμὶ δ' ὅλως οὐδενός, ἀλλὰ τύχης.

ἄδηλον.

τὸν βίον Ἡράκλειτε πολὺ πλέον, ἤπερ ὅτ' ἔζης,
δάκρυε. νῦν ὁ βίος ἐστ' ἐλεεινότερος.
τὸν βίον ἄρτι γέλα Δημόκριτε τὸ πλέον, ἢ πρίν.

νῦν ὁ βίος πάντων ἐστὶ γελοιότερος.
εἰς ὑμέας δὲ καὶ αὐτὸς ὁρῶν, τὸ μεταξὺ μεριμνῶ,
πῶς ἅμα σοὶ κλαύσω, πῶς ἅμα σοὶ γελάσω.

ὁμήρου.

οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
πάντων ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

θεόγνιδος.

πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
μήδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου.
φύντα δ' ὅπως ὤκιστα πύλας ἀΐδαο περῆσαι,
καὶ κεῖσθαι, πολλὴν γῆν ἐπαμησάμενον.

παλλαδᾶ.

πλοῦς σφαλερὸς τὸ ζῆν. χειμαζόμενοι γὰρ ἐν αὐτῷ,
πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα.
τὴν δὲ τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
ὡς ἐπὶ τοῦ πελάγους ἀμφίβολοι πλέομεν.
οἱ μὲν ἐπ' εὐπλοΐην, οἱ δ' ἔμπαλιν. ἀλλ' ἅμα πάντες
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

τοῦ αὐτοῦ.

σκηνὴ πᾶς ὁ βίος, καὶ παίγνιον. ἢ μάθε παίζειν,
τὴν σπουδὴν μεταθείς. ἢ φέρε τὰς ὀδύνας.

τοῦ αὐτοῦ.

ὦ γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον,
μέχρι τέλους, βιότου μηδὲν ἐπιστάμενον.

## ΕΙΣ ΠΛΟΥΤΟΝ ΚΑΙ ΠΕΝΙΑΝ.

καλλιμάχου.

οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,

οὔτ' ἀρετῇ, ἀφένοιο. δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

Θεόγνιδος.

τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

τοῦ αὐτοῦ.

πολλοί τοι πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται.
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα.
τῆς ἀρετῆς τὸν πλοῦτον. ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί.
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

τοῦ αὐτοῦ.

πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν.
πᾶσιν ἀνθρώποις αὐτὸς ἔνεστι νόος.

τοῦ αὐτοῦ.

πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες· οἱ δὲ τὰ καλὰ
ζητοῦσι, χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται.
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

τοῦ αὐτοῦ.

πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφρονέοντας.
γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.

Παλλαδᾶ.

πλουτεῖς. καὶ τί τὸ λοιπόν; ἀπερχόμενος, μετὰ σαυ-
τὸν τὸν πλοῦτον σύρεις. ἐς σορὸν ἑλκόμενος; (τοῦ
τὸν πλοῦτον συνάγεις, δαπανῶν χρόνον. οὐ δύνασαι δὲ
ζωῆς σωρεῦσαι, μέτρα περισσότερα.

τοῦ αὐτοῦ.

πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος

ὦ τοῖς

ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

τοῦ αὐτοῦ.

Χρυσὲ πάτερ κολάκων, ὀδύνης καὶ φροντίδος υἱὲ,
καὶ τὸ ἔχειν σε φόβος, καὶ μὴ ἔχειν σ' ὀδύνη.

ἄδηλον.

Ἦν νέος, ἀλλὰ πένης. νῦν γηρῶν πλούσιός εἰμι
ὢ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις
ὃς τότε μὲν χρῆσθαι γυνάμην, ὁπότ' οὐδὲν εἶχον,
νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

θεόγνιδος.

καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰπεῖν,
οὔτ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.

τοῦ αὐτοῦ.

μήποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθεὶς,
μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως.
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν.

## ΕΙΣ ΑΥΤΑΡΚΕΙΑΝ ΜΕΤΡΙΟ- τητα, καὶ φιλαργυρίαν.

παρμενίωνος μακεδόνος.

Ἀρκεῖ μοι χλαίνης λιτὸν σκέπας, οὐδὲ τραπέζῃ
δουλεύσω, μουσέων ἄνθεα βοσκόμενος.
μισῶ πλοῦτον ἄνουν, κολάκων τρόφον. οὐδὲ παρ' (ὀφρῦν
στήσομαι. οἶδ' ὀλίγης δαιτὸς ἐλευθερίην.

ἀλφειοῦ μιτυληναίου.

Οὐ στέργω βαθυληΐους ἀρούρας,

οὐκ ὀλ-

οὐκ ὄλβον πολύχρυσον, οἷα, ὁ γύγης.
αὐταρκοῦς ἔραμαι βίου Μακρῖνε.
τὸ μηδὲν γὰρ ἄγαν με τέρπει.

Λουκιανοῦ.

ὡς τεθνηξόμενος, τῶν σῶν ἀγαθῶν ἀπόλαυε.
ὥς τε βιωσόμενος, φείδεο σῶν κτεάνων.
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας.
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

Θεόγνιδος.

οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι. ἀλλά μοι εἴη
ζῆν ἀπὸ ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Ἰουλιανοῦ.

οἶκος καὶ πάτρη. βιότου χάρις. αἱ δὲ περισσαὶ
φροντίδες, ἀνθρώποις οὐ βίος, ἀλλὰ πόνος.

ἄδηλον.

πᾶν τὸ περιττὸν, ἄκαιρον. ἐπεὶ λόγος ἐστὶ παλαιὸς
ὡς καὶ τοῦ μέλιτος τὸ πλέον, ἐστὶ χολή.

ἄδηλον.

ἐσθλὰ λέγειν αἰεὶ πάντας, καλὸν, αἰσχρὰ δὲ, δεινόν.
κἂν ὦσιν τούτων ἄξιοι, ὧν λέγομεν.

Παλλαδᾶ.

πᾶς τις ἀπαίδευτος, φρονιμώτατός ἐστι σιωπῶν.
τὸν λόγον ἐγκρύπτων, ὡς πάθος αἰσχρότατον.

τοῦ αὐτοῦ.

χρυσὲ πάτερ κολάκων, ὀδύνης καὶ φροντίδος υἱέ.
καὶ τὸ ἔχειν σε φόβος, καὶ μὴ ἔχειν ὀδύνη.

ἄδηλον.

ἦν νέος

ἦν νέος, ἀλλὰ πένης. νῦν γηρῶν πλούσιός εἰμι,
ὢ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις.
ὃς τότε μὲν χρῆσθαι δυνάμην, ὁπότ' οὐδὲν εἶχον.
νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

Θεόγνιδος.

μήτε κακοῖσι νοσῶν λυποῦ φρένα, μήτ' ἀγαθοῖσι
τερφθῇς ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

Λουκιλλίου.

μή σύ γ' ἐπ' ἀλλοτρίης ὢν θρεφθ' ἵζοιο τραπέζης,
ψωμὸν ὀνείδειον γαστρὶ χαριζόμενος,
ἄλλοτε μὲν κλαίοντι καὶ ἐσυγνωμένῳ ὄμμα
συγκλαίων, καὖθις συγγελόωντι γελῶν.
οὔτε σύ γε κλαυθμοῖο κεχρημένος, οὔτε γέλωτος.
καὶ κλαίω μιλίῃ, καὶ γελόω μιλίῃ.

Κράτητος τοῦ φιλοσόφου.

χαῖρε θεὰ δέσποιν', ἀνδρῶν ἀγαθῶν ἀγάπημα
εὐτελίη, κλεινῆς ἔκγονε, σωφροσύνης.
σὴν ἀρετὴν τιμῶσιν. ὅσοι τὰ δίκαι' ἀσκοῦσιν.

## ΕΙΣ ΦΥΗΝ ΚΑΙ ΗΘΟΣ.

Ὁμήρου.

ὃς μὲν ἀπηνὴς αὐτὸς ἔῃ, καὶ ἀπηνέα εἰδῇ.
τῷ δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε' ὀπίσσω
ζωῷ. ἀτὰρ τεθνεῶτι γ' ἐφεψιόωνται πάντες.
ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ, καὶ ἀμύμονα εἰδῇ,
τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μιν ἐσθλὸν.

τοῦ αὐτοῦ.

τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ, ἐείπορ
οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός.
ἀλλὰ μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει,
ἐν δέ τέ οἱ κραδίη μεγάλα, στέρνοισι πατάσσει
κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίνετ' ὀδόντων.
τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς, οὔτε λίην ταρβεῖ.

τοῦ αὐτοῦ.

ἄλλοις γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.

Θεόγνιδος.

κύρνε φίλους κατὰ πάντας ἐπίστρεφε ποικίλον ἦθος,
ὀργὴν συμμίσγων, ἥντιν' ἕκαστος ἔχει.
πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ
τῇ προσομιλήσει, τοῖος ἰδεῖν ἐφάνη.

τοῦ αὐτοῦ.

ἔστι τὸ μὲν χεῖρον, τὸ δ' ἄμεινον γ' ἔργον ἑκάστῳ.
οὐδεὶς δ' ἀνθρώπων, αὐτὸς ἅπαντα σοφός.

τοῦ αὐτοῦ.

ὀργὴν ἀπάτερθεν ὁρῶντα.
γινώσκειν χαλεπὸν καί περ ἐόντα σοφῷ.
οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσι
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένη πενίη.

## ΕΙΣ ΔΟΛΙΟΥΣ ΚΑΙ ΚΟΛΑΚΑΣ.

Λουκιανοῦ.

Οὐδὲν ἐν ἀνθρώποισι φύσις χαλεπώτερον εὗρεν
ἀνθρώπου καθαρὰν ψευδομένου φιλίαν.

οὐ γὰρ

οὐ γὰρ ἔθ' ὡς ἐχθροὺς προφυλασσόμεθ'. ἀλλ' ἀγαπῶντες
ὡς φίλους, ἐν τούτῳ πλείονα βλαπτόμεθα.

Παλλαδᾶ.

Οὐχ οὕτω βλάπτει μισῶν ὁ λέγων ἀναφανδὸμ,
ὥσπερ ὁ τὴμ καθαρὰμ ψευδόμενος φιλίαμ.
τὸμ μὲν γὰρ μισοῦντα, προειδότες, ἐκτρεπόμεσθα.
τὸμ δὲ λέγοντα φιλεῖμ, οὐ προφυλασσόμεθα.
ἐχθρὸμ ἐγὼ, κεῖνομ κρίνω βαρὺμ, ὅς ποτε λάθρῃ,
τὴμ ἀπὸ τῆς φιλίης πίστιμ ἔχωμ, ἀδικεῖ.

Λουκιλλίου.

Εἴ με φιλεῖς ἔργῳ με φίλει, καὶ μὴ μ' ἀδίκει σὺ,
ἀρχὴμ τοῦ βλάπτειμ τὴμ φιλίημ θέμενος.
πᾶσι γὰρ ἀνθρώποισιμ ἐγὼ πολὺ κρέσσονά φημι
τὴμ φανερὰμ ἔχθραμ τῆς δολερῆς φιλίης.
φασὶ δὲ καὶ νήεσσιμ ἁλιπλανέεσσι χερείους
τὰς ὑφάλους πέτρας, τῶμ φανερῶμ σπιλάδωμ
ἄδηλομ.
πλασσὸμ ἔχεις τὸν ἔρωτα, φόβῳ δὲ φιλεῖς καὶ ἀνάγκῃ.
τοῦ δὲ φίλωμ οὕτως, οὐδὲμ ἀπιστότερομ.

Παλλαδᾶ.

ἢμ ὁ φίλος τι λάβῃ, Δόμινε φράτερ, εὐθὺς ἔγραψεμ
ἢμ δ' αὖ μή τι λάβῃ, τὸ φράτερ εἶπε μόνομ.
ὤνια γὰρ καὶ ταῦτα τὰ ῥήματα. αὐτὰρ ἔγωγε
οὐκ ἐθέλω δόμινε, οὐ γὰρ ἔχω δόμεναι.
ῥῶ καὶ λάμβδα μόνομ κόρακας κόλακάς τε διίσσῳ.
οὐκ οὖμ ταυτὸ κόραξ βωμολόχος τε κόλαξ.
τοὔνεκά μοι βέλτιστε τόδε ζῶομ πεφύλαξο,

εἰδὼς

εἰ δ' ὡς καὶ ζώντων τοὺς κόλακας, κόρακας.

## ΕΙΣ ΦΘΟΝΟΝ ΚΑΙ ΦΘΟΝΤΙ΄ΔΑ.

παλλαδᾶ.

ὁ φθόνος οἰκτιρμοῦ κατὰ πίνδαρόν ἐστιν ἀμείνων.
οἱ βασκαινόμενοι, λαμπρὸν ἔχουσι βίον.
τοὺς δὲ λίαν ἀτυχεῖς, οἰκτείρομεν. ἀλλὰ τις εἴην
μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ.
ἡ μεσότης γάρ, ἄριστον. ἐπεὶ τὰ μὲν ἄκρα πέφυκε
κινδύνους ἐπάγειν ἔσχατα δ' ὕβριν ἔχει.

ἄδηλον.

ὁ φθόνος ἐστὶ κάκιστον. ἔχει δέ τι καλὸν ἐν αὐτῷ.
τήκει γὰρ φθονερῶν ὄμματα, καὶ κραδίην.

ἄδηλον.

ὁ φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.

Σοφοκλέους.

πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.

Θεόγνιδος.

τὴν σαυτοῦ φρένα, τέρπε. δυσηλεγέων δὲ πολιτῶν
ἄλλος τίσει κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

παλλαδᾶ.

εἰ τὸ μέλειν δύναταί τι, μεριμνα, καὶ μελέτω σοι.
εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;
οὔτε μεριμνήσεις δίχα δαίμονος, οὔτ' ἀμελήσεις.
ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τοῦτο μέλει.

## ΕΙΣ ΦΙΛΟΥΣ, ΞΕΝΟΥΣ ΚΟ-
λακας καὶ ἀχαρίστους.

Θεόγνιδος.

πολλοὶ πὰρ κρητῆρι φίλοι γίγνοντ᾽ ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

τοῦ αὐτοῦ.

παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους
κείμενος ἐν μεγάλῃ θυμοῦ ἀμηχανίῃ.

τοῦ αὐτοῦ.

τῶν γε φίλων εἰ μέν τις ὁρᾷ μέτ. δεινὸν ἔχοντα,
αὐχένης ἀποστρέψας, οὐδ᾽ ἐσορᾶν ἐθέλει.
ἢν δέ τί μοι πόθεν ἐσθλὸν (ἃ πολλάκι γίνεται ἀνδρὶ)
πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

τοῦ αὐτοῦ.

μήποτε τὸν παρεόντα μεθεὶς φίλον, ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

τοῦ αὐτοῦ.

ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενῆ ἐξαπατῆσαι
Κύρνε· φίλον δὲ φίλῳ ῥᾴδιον ἐξαπατᾶν.

τοῦ αὐτοῦ.

πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος, ἐν χαλεπῇ Κύρνε διχοστασίῃ.

ἄδηλον.

θησαυρὸς μέγας ἔστ᾽ ἀγαθὸς φίλος Ἡλιόδωρε
τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.

ἄδηλον. (δὲ πε

πρᾶγμα, μὲν ἔσθ᾽ ὁ φίλος πάνυ δύσκολον
καὶ σχεδὸν οἱ πάντες, μέχρι προσηγορίας

ὁμήρου.

ἶσόν τοι κακόν ἐσθ᾽ ὅστ᾽ οὐκ ἐθέλοντα νέεσθαι
ξεῖνον ἐποτρύνει, καὶ ὃς ἐσσύμενον κατερύκει.
χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.

τοῦ αὐτοῦ.

ἀντὶ κασιγνήτου ξεῖνός θ᾽ ἱκέτης τε τέτυκται
ἀνέρι, ὅστ᾽ ὀλίγον περ ἐπιψαύει πραπίδεσσι.

Λουκιανοῦ.

ὠκεῖαι χάριτες γλυκερώτεραι. ἢν δὲ βραδύνῃ,
πᾶσα χάρις κενεή, μηδὲ λέγοιτο χάρις.

τοῦ αὐτοῦ.

φαῦλος ἀνὴρ, πίθος ἐστὶ τετρημένος, εἰς ὃν ἁπάσας
ἀντλῶν τὰς χάριτας, εἰς κενὸν ἐξέχεας.

τοῦ αὐτοῦ.

οὐ χρὴ ποιμαίνειν, ὅ τι μὴ ποιμαντέον εἴη,
οὐδ᾽ ἔρδειν, ὅ τι μὴ λώιον ᾖ τελέσαι.

## ΕΙΣ ΑΡΧΟΝΤΑΣ, ΔΗΜΟΝ, καὶ δούλους.

Ὁμήρου.

κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ,
εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ.

τοῦ αὐτοῦ.

οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ᾽ ἐπιτετράφαται, καὶ τόσσα μέμηλε.

τοῦ αὐτοῦ.

οὐκ ἀγαθὸν πολυκοιρανίη. εἷς κοίρανος ἔστω,

εἷς βασιλεύς, ᾧ ἔδωκε κρόνου παῖς ἀγκυλομήτεω
σκῆπτρόν τ' ἠδὲ θέμιστας ἵνα σφίσι βασιλεύῃ.

τοῦ αὐτοῦ.

οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν. αἶψά τέ οἱ δῶ
ἀφνειὸν πέλεται, καὶ τιμηέστερος αὐτός.

ἡσιόδου.

τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι,
ῥηϊδίως μαλακοῖσι παραφάμενοι ἐπέεσσιν.
ἐρχόμενον δ' ἀνὰ ἄστυ θεὸν ὣς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισι.

θεόγνιδος.

οὐδεμίαν πω κύρν' ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες,
ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ
δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν,
οἰκείων κερδῶν εἵνεκα καὶ κράτεος.
ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμέεσθαι,
μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ;
εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται
κέρδεα, δημοσίῳ σὺν κακῷ ἐρχόμενα.

τοῦ αὐτοῦ.

ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ
κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.

εὐριπίδου.

λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν,
κἀκ τῶν δοκούντων, αὐτὸς οὐ ταυτὸν σθένει.

ὁμήρου.

δμῶες

Δμῶες δ᾽, εὖτ᾽ ἂν μηκέτ᾽ ἐπικρατέωσιν ἄνακτες,
οὐκ ἔτ᾽ ἔπειτ᾽ ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι.
ἥμισυ γάρ τ᾽ ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ᾽ ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν.

ἄδηλον.

βουλεύεις ἀγαθῖνε. τὸ βῆτα, δὲ τοῦτ᾽ ἐπρίω νῦν.
εἰπὲ πόσης τιμῆς. δέλτα γὰρ ἦν πρότερον.

## ΕΙΣ ΓΑΣΤΈΡΑ.

ὁμήρου.

οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο
ἔπλετο, ἥ τ᾽ ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκῃ.
καὶ μάλα τειρόμενον, καὶ ἐν φρεσὶ πένθος ἔχοντα.

τοῦ αὐτοῦ.

γαστέρα δ᾽ οὔπως ἐστὶν ἀποκρύψαι μεμαυῖαν
οὐλομένην, ἣ πολλὰ κάκ᾽ ἀνθρώποισι δίδωσι
τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται
πόντον ἐπ᾽ ἀτρυγετόν, κακὰ δυσμενέεσσι φέρουσαι.

τοῦ αὐτοῦ.

πλαγκτοσύνης δ᾽ οὐκ ἔστι κακώτερον ἄλλο βροτοῖσιν.
ἀλλ᾽ ἕνεκ᾽ οὐλομένης γαστρὸς κακὰ κήδε᾽ ἔχουσιν
ἀνέρες, ὅτιν ἵκηται ἄλη καὶ πῆμα καὶ ἄλγος.

ἄδηλον.

ὦ χαστὴρ κυνόμυια, δι᾽ ἣν κόλακες παράσιτοι.
ζωμοῦ πωλοῦσι θεσμὸν ἐλευθερίης.

## ΕΙΣ ΠΌΛΕΜΟΝ ΚΑΙ ΡΑΤΡΊΔΑ.

ὁμήρου.

ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,

ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

τοῦ αὐτοῦ.

εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης.

τοῦ αὐτοῦ.

ξυνὸς ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.

τοῦ αὐτοῦ.

αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν.

τοῦ αὐτοῦ.

αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται.
φευγόντων δ' οὔτ' ἄρ κλέος ὄρνυται, οὔτε τις ἀλκή.

ὁμήρου.

ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, οὐδὲ τοκήων
γίνεται. εἴπερ καί τις ἀπόπροθι πίονα οἶκον
γαίῃ ἐν ἀλλοδαπῇ ναίει, ἀπάνευθε τοκήων.

## ΕΙΣ ΟΙΝΟΝ ΚΑΙ ΜΕΘΗΝ.

ὁμήρου.

εὐξόμενός τι ἔπος ἐρέω, οἶνος γὰρ ἀνώγει
ἠλεός. ὅς τ' ἐφέηκε πολύφρον' ἀπὸ μάλ' ἀεῖσαι,
καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκεν
καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον.

τοῦ αὐτοῦ.

ἀνδρὶ δὲ κεκμηῶτι, μένος μέγα οἶνος ἀέξει.

Θεόγνιδος.

αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφουσιν εἶναι.
αἰσχρὸν δ' εἰ νήφων πὰρ μεθύουσι μένει.

τοῦ αὐτοῦ.

εἰ πίοι

εἰ πίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνω,
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς,
ἄδηλον.
λυσιμελοῦς βάκχου καὶ λυσιμελοῦς ἀφροδίτης
γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.
ἄδηλον.
οἶνος, καὶ τὰ λοετρά, καὶ ἡ περὶ κύπριν ἐρωή,
ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς ἀΐδην.

## ΕΙΣ ὉΜΙΛΊΑΝ.

ὁμήρου.
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.
θεόγνιδος.
πέπνυσο, μηδ' αἰσχροῖσιν, ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν
τιμὰς, μηδ' ἀρετὰς ἕλκεο, μηδ' ἄφενος
ταῦτα μὲν οὕτως ἴσθι κακοῖσι δὲ μὴ προσομίλει
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο.
καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε καὶ μετὰ τοῖσιν
ἵζε. καὶ ἅνδανε τοῖς ὧν μεγάλη δύναμις
ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι ἢν δὲ κακοῖσι
συμμιχθῇς ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
τοῦ αὐτοῦ.
οἱ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν
ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην.
τοῦ αὐτοῦ.
κεκλῆσθαι δ' ἐς δαῖτα παρέζεσθαι δὲ παρ' ἐσθλὸν
ἄνδρα, χρεὼν, σοφίην πᾶσαν ἐπιστάμενον,

τοῦ σιωπῆν ὁπότ' ἀντιλέγῃ σοφὸν ὄφρα διδαχθῇς
καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων ἀπίῃς

## ΕΙΣ ΣΙΓΗΝ ΚΑΙ ΛΑΛΙΑΝ.

### ὁμήρου.

στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν πολέες δ' ἐνὶ μῦθοι
παντοῖοι ἐπέων δὲ πόλυς νόμος ἔνθα καὶ ἔνθα
ὁποῖον κ' εἴπησθα ἔπος τοῖον κ' ἐπακούσαις.

### θεόγνιδος.

κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος
φθεγγόμενος δ' ἀδαὴς οἷσι παρῇ μέλεται
ἐχθαίρους δὲ πάντες. ἀναγκαίη δ' ἐπίμιξις
ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.

### τοῦ αὐτοῦ.

ἴχε νόον γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέσθω
δηλῶντοι τελέθει κραδίῃ ὀξυτέρη.

### τοῦ αὐτοῦ.

πολλοῖς ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκηνται
ἁρμόδιαι καί σφιν πόλλ' ἀμέλητα, μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακήμενον ἔνδον ἄμεινον
ἐσθλὸν δ' ἐξελθόν, λώϊον ἢ τὸ κακόν.

### ἄδηλον.

ἐσθλὰ λέγειν αἰεὶ πάντας, καλόν. αἰσχρὰ δὲ δεινὸν
κἂν ὦσιν τούτων ἄξιοι, ὧν λέγομεν.

### παλλαδᾶ.

πᾶς τις ἀπαίδευτος, φρονιμώτατός ἐστι σιωπῶν.
τὸν λόγον ἐγκρύπτων, ὡς πάθος αἰσχρότατον.

## ΕΙΣ ΠΑΙΔΑΣ ΚΑΙ ΓΕΡΟΝΤΑΣ.

Ὁμήρου.

παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται.
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.

τοῦ αὐτοῦ.

αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.
οἷς δ' ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω
λεύσσει, ὅπως ὄχ' ἄριστα μετ' ἀμφοτέροισι γένηται.

τοῦ αὐτοῦ.

οἶσθ' οἷοι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι
κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις

Θεόγνιδος.

οὐδένα θησαυρὸν παισὶ καταθήσῃ ἀμείνω
αἰδοῦς. ἥ τ' ἀγαθοῖς ἀνδράσι κύρν' ἕπεται.

## ΕΙΣ ΓΡΑΜΜΑΤΙΚΟΥΣ, ΠΟΙΗΤΑΣ, φιλοσόφους, ἰατροὺς καὶ ἀστρολόγους.

Παλλαδᾶ.

καλλίμαχον πωλῶ, καὶ Πίνδαρον, ἠδὲ καὶ αὐτὰς
πτώσεις γραμματικῆς, πτῶσιν ἔχων πενίης.
ἀλλὰ σύ μου πρόστηθι θεῷ φίλε, μηδὲ μ' ἐάσῃς
συνδέσμῳ πενίης τὸν βίον ἐξανύσαι.

τοῦ αὐτοῦ, ἐπὶ δυσὶ βρέφεσιν ἅμα.
τεχθεῖσι καὶ εὐθὺς ἀποθανοῦσι.

γραμματικοῦ θυγάτηρ ἔτεκεν, φιλότητι μιγεῖσα,
παιδίον ἀρσενικόν, θηλυκόν, οὐδέτερον.

Λουκιλλίου.

ἔξω παρθένας πάριδος κακὰ καὶ μενελάου,
ἔνδον ἔχων πολλοὺς τῆς ἑλένης πάριδας.

παλλαδᾶ.

τέκνον ἀναιδείης, ἀμαθέστατε, θρέμμα μορίης,
εἰπὲ τί βρενθύῃ, μηδὲν ἐπιστάμενος;
ἐν μὲν γραμματικοῖς ὁ πλατωνικός. ἂν δ' ὁ πλάτωνος
δόγματά τις ζητῇ, γραμματικὸς σὺ πάλιν.
ἐξ ἑτέρου φεύγεις ἐπὶ θάτερον. οὔτε δὲ τέχνην
οἶσθα γραμματικήν, οὔτε πλατωνικὸς εἶ.
πάντα μὲν οἶδα λέγεις. ἁπλῆς δ' ἐν πᾶσιν ὑπάρχεις
γευόμενος πάντων, οὐδὲν ἔχεις ἴδιον.

ἄδηλον.

Μουσάων ἑλικωνιάδων ἀρχόμεθ' ἀείδειν,
ἔγραφε ποιμαίνων, ὡς λόγος, ἡσίοδος.
μῆνιν ἄειδε θεά, καὶ ἄνδρα μοι ἔννεπε μοῦσα,
εἶπεν ὁμηρείῳ καλλιόπη στόματι.
κἀμὲ δεῖ γράψαι τι προοίμιον. ἀλλὰ τί γράψω,
δεύτερον ἐκδιδόναι βιβλίον ἀρχόμενος;
μοῦσαι ὀλυμπιάδες, κοῦραι διός, οὐκ ἂν ἐσώθην,
εἰ μή μοι καῖσαρ χαλκὸν ἔδωκε Νέρων.

Νικηράτου.

οἶνός τοι χαρίεντι μέγας πέλει ἵππος ἀοιδῷ.
ὕδωρ δὲ πίνων, καλὸν οὐ τέκοις ἔπος.
ταῦτ' ἔλεγεν Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ,
κρατῖνος, ἀλλὰ παντὸς ὠδώδως πίθου.
τοιγὰρ ὑπὸ στεφάνοις μέγας ἔβρυεν. εἶχε δὲ κισσῷ
μέτωπον, ὥσπερ καὶ σὺ κεκροκωμένον.

Ἀντιπάτρου εἰς Ἡράκλειτον.

Ἡράκλειτος ἐγώ. τί με ὦ κάτω ἕλκετ' ἄμουσοι,
οὐχ ὑμῖν ἐπόνουν, τοῖς δὲ μ' ἐπισαμένοις.
εἷς ἐμοὶ ἄνθρωπος, τρισμύριοι. οἱ δ' ἀνάριθμοι,
οὐδείς, ταῦτ' αὐδῶ καὶ παρὰ Φερσεφόνῃ.

Ἀμμιανοῦ.

οἴει τὸν πώγωνα, φρενῶν ποιητικὸν εἶναι,
καὶ διὰ τοῦτο τρέφεις φίλτατε μηροσόβην;
κεῖρον ἐμοὶ πεισθεὶς ταχέως, οὗτος γὰρ ὁ πώγων,
φθειρῶν ποιητής, οὐχὶ φρενῶν γέγονεν.

ἄδηλον.

εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν,
καὶ τράγος εὐπώγων, ἔυστολος ἐστὶ πλάτων.

Ἀντιπάτρου εἰς Διογένη.

βάκτρον, καὶ πήρη, καὶ διπλόον εἷμα, σοφοῖο
Διογένευς βιότου φόρτος ὁ κουφότατος.

τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

αἴδος ὦ νεκυηγὲ κεχαμένε δάκρυσι πάντων,
ὃς βαθὺ πορθμεύεις τοῦτ' ἀχέροντος ὕδωρ,
εἰ καί σοι βέβριθεν ὑπ' εἰδώλοισι καμόντων
ὁλκάς, μὴ προλίπῃς Διογένη με κύνα.
ὄλπην καὶ σκίπωνα φέρω, καὶ διπλόον εἷμα.
καὶ πήρην, καὶ σοὶ ναυτιλίης ὀβολόν.
καὶ ζωὸς τάδε μοῦνον, ἃ καὶ νέκυς ὧδε κομίζω,
εἶχον. ὑπ' ἠελίου δ' οὔ τι λέλοιπα φάει.

ἀντιφίλου βυζαντίου εἰς τὸν αὐτόν.

ἡ πήρη, καὶ χλαῖνα, καὶ ὕδατι πιληθεῖσα

μάζα, καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη,
καὶ δέπας ἐκ κεραμοῖο, σοφῷ κυνὶ μέτρα βίοιο
ἄρκια. καὶ ἐν τούτοις ἦν τι περισσότερον.
κοίλαις γὰρ παλάμῃσιν ἰδὼν ἀρύοντα βοώτην,
εἶπε, τί καὶ σὲ μάτην ὄστρακον ἠχθοφόρουν;

Εἰς πυθαγόραν.

οὐ μόνος ἐμψύχων ἀπέχεις χέρας, ἀλλὰ καὶ ἡμεῖς.
τίς γὰρ, ὃς ἐμψύχων ἥψατο πυθαγόρη;
ἀλλ᾽ ὅταν ἑψηθῇ τι, καὶ ὀπτηθῇ, καὶ ἁλισθῇ,
δὴ τότε καὶ ψυχὴν μὴ ἔχον, ἐσθίομεν.

ἀγαθίου.

ἐκτήρ τις ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψεν,
ὥς τὸ μαθεῖν παρ᾽ ἐμοὶ ταῦτα τὰ γραμματικά.
ὡς δὲ τὸ μῆνιν ἄειδε, καὶ ἄλγεα μυρί᾽ ἔθηκεν
ἔγνω, καὶ τὸ τρίτον τοῖσδ᾽ ἀκόλουθον ἔπος,
πολλὰς δ᾽ ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν,
οὐκ ἔτι μιν πέμπει πρός με μαθησόμενον.
ἀλλά μ᾽ ἰδὼν ὁ πατὴρ, σοὶ μὲν χάρις εἶπεν ἑταῖρε,
αὐτὰρ ὁ παῖς παρ᾽ ἐμοὶ ταῦτα μαθεῖν δύναται.
καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς ἄϊδι προϊάπτω,
καὶ πρὸς τοῦτ᾽ οὐδὲν γραμματικοῦ δέομαι.

ἄδηλον.

Καλλιγένης ἀγροῖκος, ὅτε σπόρον ἔμβαλε γαίῃ,
οἶκον ἀριστοφάνους ἦλθεν ἐς ἀστρολόγου.
ἤτει δ᾽ ἐξερεείνων, εἰ θέρος αἴσιον αὐτῷ
ἔσται, καὶ σταχύων ἄφθονος εὐπορίη.
ὃς δὲ λαβὼν ψηφῖδας, ὑπὲρ πίνακός τε πυκάζων.

δάκτυ-

δάκτυλά τε γνάμπτων, φθέγξατο Καλλιγένει.
ἤν που ἐπομβρηθῇ τὸ ἀρούριον, ὅσσον ἀπόχρη,
μηδὲ τι μὴν ὑλαίην τέξεται ἀνθοσύνην,
μηδὲ πάγος ῥήξῃ τὴν αὔλακα, μηδὲ χαλάζῃ
ἄκρον ἀποδρυφθῇ δράγματος ὀρνυμένου,
μηδὲ νέβροι κείρωσι τὰ λήϊα, μηδέ τιν' ἄλλην
ἠέρος ἢ γαίης ὄψεται ἀμπλακίην
ἐσθλόν σοι τὸ θέρος μαντεύομαι. εὖ δ' ἀποκόψαις
τοὺς στάχυας. μούνας δείδιθι τὰς ἀκρίδας.

## ΕΙΣ ΔΥΣΕΙΔΕΙΣ, ΔΥΣΩΔΕΙΣ, ὀκνηρούς, χωλούς, καὶ μεθύσους.

Τραϊανοῦ βασιλέως.

Ἀντίον ἠελίου στήσας ῥῖνα καὶ στόμα χάσκων,
δείξεις τὰς ὥρας πᾶσι παρερχομένας.

Θεοδώρου.

Ἑρμοκράτης τῆς ῥινός, ἐπεὶ τὴν ῥῖνα λέγοντες
Ἑρμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

Ἀμμιανοῦ.

Οὐ δύναται τῇ χειρὶ Πρόκλος τὴν ῥῖν' ἀπομύσσειν.
τῆς ῥινὸς γὰρ ἔχει τὴν χέρα μικροτέρην.
Οὐδὲ λέγει Ζεῦ σῶσον ἐὰν πταρῇ. οὐ γὰρ ἀκούει
τῆς ῥινός. πολὺ γὰρ τῆς ἀκοῆς ἀπέχει.

Παλλαδᾶ.

Ἠγόρασας πλοκάμους, φῦκος, μέλι, κηρόν, ὀδόντας.
τῆς αὐτῆς δαπάνης ὄψιν ἂν ἠγόρασας.

Ἄδηλον.

ἡ ῥὶς κάστορός ἐστιν, ὅταν σκάπτῃ τι, δίκελλα.
σάλπιγξ δ᾽, ἂν ῥέγχῃ. τῇ δὲ τρύγῃ, δρέπανον.
ἐν πλοίοις ἄγκυρα. κατασπείρουσι δ᾽ ἄροτρον.
ἄγκιστρον, ναύταις. ὀψοφάγοις, κρεάγρα.
ναυπηγοῖς, κένδυλα. γεωργοῖς δὲ, πρασόκουρον.
τέκτοσιν, ἀξίνη. τοῖς δὲ πυλῶσι, κόραξ.
οὕτως εὐχρήστου σκεύους κάστωρ τετύχηκε,
ῥῖνα φέρων πάσης ἄρμενον ἐργασίας.

Νικάρχου.

εἴ με φιλεῖς μισεῖς με. καὶ εἰ μισεῖς σὺ, φιλεῖς με.
εἰ δὲ με μὴ μισεῖς φίλτατε, μή με φίλει.

Λουκιλλίου.

εἰς φιλακὴν βληθεὶς ποτε μάρκος ὁ ἀργὸς, ἑκοντὶ,
ὀκνῶν ἐξελθεῖν, ὡμολόγησε φόνον.

τοῦ αὐτοῦ.

τῆς νυκτὸς ῥοχάσας ἐν ὕπνοις ποτὲ μάρκος ὁ ἀργὸς
οὐκ ἔτ᾽ ἐκοιμήθη μὴ πάλι που ῥοχάσῃ.

Παλλαδᾶ.

υἱὸν ἔχεις τὸν ἔρωτα, γυναῖκα δὲ τὴν ἀφροδίτην
οὐκ ἀδίκως χαλκεῦ τὸν πόδα χωλὸν ἔχεις.

ἄδηλον.

λυσιμελοῦς βάκχου καὶ λυσιμελοῦς ἀφροδίτης,
γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.

Εἰς Ἀππιανὸν ἡγεμόνα πότην.

γράμμα πρῶτον ἔχεις τὸ προκείμενον. ἢν ἀφέλῃ τις
τοῦτό σοι, οἰκεῖον κτήσῃ ἁπλῶς ὄνομα.

Ἐρατοσθένους.

οἰνοπότας Ξενοφῶν κενεὸν πίθον ἄνθετο Βάκχῳ.
Δέχνυσο δ' εὐμενέως, ἄλλο γὰρ οὐδὲν ἔχει.

## ΕΙΣ ΛΟΥΤΡΑ.

Πλάτωνος.

αἱ χάριτες λούσαντο. ἀμειψάμεναι δὲ λοετρὸν,
δῶκαν ἑῶν ῥεέθρων ὕδασιν ἀγλαΐην·

εἰς τὸ αὐτό.

ἢ τοῖον κυθέρειαν ὕδωρ τέκεν, ἢ κυθέρεια
τοῖον ἔτευξεν ὕδωρ, ὃν χρόα λυσαμένη.

εἰς τὸ αὐτό.

τᾶν χαριτᾶν τόδε λουτρὸν ἀθύρματα. καὶ γὰρ ἐκείνας
μούνας ἔσω παίσδειν τὰς χάριτας δέχεται.

εἰς τὸ αὐτό.

οὕτως δὴ χαρίτων λουτρὸν τόδε. οὐδὲ γὰρ ἄλλους
πλείους χωρῆσαι τοῦτο τριῶν δύναται.

Λεοντίου σχολαστικοῦ.

ἐνθάδε λουσαμένων χαρίτων ποτὲ, θέσκελα πέπλα
βαιὸς ἔρως ἔκλεψε, καὶ ᾤχετο. τὰς δὲ λιπ' αὐτοῦ
γυμνὰς, αἰδομένας θυρέων ἔκτοσθε φανῆναι.

Κύρου ποιητοῦ.

κύπρις σὺν χαρίτεσσι, καὶ ἠεὶ χρυσοβελέμνῳ,
ἐνθάδε λουσαμένη, μισθὸν ἔδωκε χάριν.

Μαριανοῦ σχολαστικοῦ.

μητέρα κύπριν ἔλουσεν ἔρως ποτὲ τῷδε λοετρῷ,
αὐτὸς ὑποφλέξας λαμπάδι καλὸν ὕδωρ,
ἱδρὼς δ' ἀμβροσίου χυθεὶς χροὸς, ἄμμιγα λευκοῖς
ὕδασι,

ὕδασι, φεῦ, πνοιῆς ὅσσον ἀνῆψεν ἔαρ.
ἔνθεν ἀεὶ ῥοδόεσσαν ἀναζείουσιν ἀϋτμήν,
ὡς ἔτι τῆς χρυσῆς λουομένης Παφίης.

Ἀδέσποτον.

ὅσσαις θηλυτέραις ὄξιν πόθος, ἔστι δὲ πάσαις,
δεῦρ' ἴτε φαιδροτέρης τευξόμεναι χάριτος.
χἠ μὲν ἔχουσα πόσιν, τέρψει πόσιν. ἡ δ' ἔτι κούρη
ὀτρυνέει πλείστους ἕδνα πορεῖν λεχέων.
ἡ δὲ φέρουσα πόρους ἀπὸ σώματος, ἑσμὸν ἐραστῶν,
ἕξει ἐπὶ προθύροις, ἐνθάδε λουσαμένη.

ΥΜΝΟΣ ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

μέλπωμεν βασιλῆα, φιλεύιον, εἰραφιώτην.
ἁβροκόμην. ἀγροῖκον. ἀοίδιμον. ἀγλαόμορφον.
βοιωτόν, βρόμιον. βακχευτόρα. βοτρυοχαίτην.
γηθόσυνον. γονόεντα. γιγαντολέτην, γελόωντα.
διογενῆ. δίγονον. διθυραμβογενῆ Διόνυσον.
εὔϊον, εὐχαίτην. εὐάμπελον, ἐγρεσίκωμον.
ζηλαῖον. ζάχολον. ζηλήμονα. ζηλοδοτῆρα
ἤπιον. ἡδυπότην. ἡδύθροον. ἠπεροπῆα.
θυρσοφόρον. θρυΐκα. θιασώτην. θυμολέοντα.
ἰνδολέτην. ἱμερτόν. ἰοπλόκον. εἰραφιώτην.
κωμαστήν. κεραόν. κισσοστέφανον. κελαδεινόν.
λυδόν. ληναῖον. λαθικηδέα. λυσιμέριμνον.
μύστην. μαινόλιον. μεθιδώτην, μυριόμορφον.
νυκτέλιον. νόμιον. νεβρώδεα. νεβριδόπεπλον.
ξυστοβόλον. ξυνόν. ξενοδώτην. ξανθοκάρηνον.
ὀργίλον. ὀβριμόθυμον. ὀρέσκιον. οὐρεσιφοίτην.

πολυπότην. πλαγκτῆρα. πολυστέφανον. πολύκω
ῥηξίνοον. ῥαδινόν. ῥικνώδεα. ῥηνοχορῆα. (μον.
σκιρτητήν. σάτυρον. σεμεληγενέτην. σεμελῆα.
περπνόν. ταυρωπόν. τυρρηνολέτην. ταχύμηνιν.
ὑπνοφόβην. ὑγρόν. ὑμενήϊον. ὑλήεντα.
φηρομανῆ φρικτόν. φιλομειδέα. φοιταλιώτην.
χρυσόκερων. χαρίεντα. χαλίφρονα. χρυσεομίτρην.
ψυχοπλανῆ. ψευστήν. ψοφομηδέα. ψυχοδαϊκτήν.
ὥριον. ὠμηστήν. ὀρεσίτροφον. ὠρεσίλοιπον.

## ὝΜΝΟΣ ΕΙΣ ΑΠΟΛΛΟΝΑ.

ὑμνείω παιᾶνα, μέγαν θεὸν ἀπόλλονα.
ἄβροτον. ἀγλαόμορφον. ἀκερσεκόμην. ἀβροχαίτην
βριθήνοον. βασιλῆα. βελεσιχαρῆ. βιοδώτην.
γηθόσυνον. γελόωντα. γιγαντολέτην. γλυκύθυμον.
Διογενῆ. Διόπαιδα. δρακοντολέτην, δαφνογηθῆ.
εὔλαλον. εὐρυβίην. ἑκατηβόλον, ἐλπιδοδώτην.
ζωογόνον, ζάθεον. ζηνόφρονα, ζηνοδοτῆρα.
ἤπιον. ἡδυεπῆ. ἡδύθροον. ἠπιόχειρα.
θηροφόνον. θαλερόν. θελξίφρονα. θελγεσίμυθον.
ἰαφέτην. ἱμερτόν. ἰήϊον. ἱπποκορυστήν. (νεθλον.
κοσμοπλόκον. κλάριον. κρατερόφρονα. καρπηγέ
λητογενῆ. λαρόν. λυρογηθέα. λαμπετόωντα.
μυσοπόλον. μάντιν. μεγαλήτορα. μυριόμορφον.
νεβροχαρῆ. νοερόν. νηπενθέα. νηφαλέον π.
ξυνοχαρῆ. ξυνόν. ξυνόφρονα. ξυνοδοτῆρα.
ὄλβιον. ὀλβιοεργόν. ὀλύμπιον. οὐρεσιφοίτην.
πρηΰν. πανδερκῆ. παναπήμονα. πλουτοδοτῆρα.

ῥυσίπτ

ῥυσίπονον. ῥοδόχρουν. ῥηξήνορα. ῥηξικέλευθον.
σιγαλόεντα. σοφόν. σεληνογενέτην. σωτῆρα.
τερψίχορον. τιτᾶνα. τελέσορα. τιμήεντα.
ὑμναγόρην. ὕπατον. ὑψαύχενα. ὑετόεντα.
φοῖβον. φοιβάζοντα. φιλοστέφανον. φρενογηθῆ.
χρησμαγόρην. χρύσεον, χρυσόχροα. χρυσοβέλεμνον.
ψαλμοχαρῆ. ψάλτην. ψευσίστυγα. ψυχοδότηρα.
ὠκύπορον. ὠκυεπῆ. ὠκυσκόπον. ὡρεσιδώτην.

## ΕΙΣ ΘΑΝΑΤΟΝ.

### ὁμήρου.

ληϊστοὶ μὲν γάρ τε βόες, καὶ ἴφια μῆλα,
κτητοὶ δὲ τρίποδές τε, καὶ ἵππων ξανθὰ κάρηνα.
ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστή.
οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων.

### τοῦ αὐτοῦ.

πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσι.
λιμῷ δ' οἴκτιστον θανέειν, καὶ πότμον ἐπισπεῖν.

### Θεόγνιδος.

οὐκ ἔραμαι κλισμῷ βασιληΐῳ ἐγκατακεῖσθαι
τεθνεώς. ἀλλά τι μοι ζῶντι γένοιτ' ἀγαθόν,
ἀσπάλαθοι τάπησιν ὁμοῖον στρῶμα θανόντι.
τὸ ξύλον ἢ σκληρὸν γίνεται, ἢ μαλακόν.

### ἀγαθίου.

τὸν θάνατον τί φοβεῖσθαι, τὸν ἡσυχίης γενετῆρα
τὸν

τὸν παύοντα νούσους, καὶ πενίης ὀδύνας;
μοῦνος ἅπαξ θνητοῖς παραγίγνεται. οὐδ᾽ ἐπὶ αὐτὸν
εἶδέ τις θνητῶν δεύτερον ἐρχόμενον.
αἱ δὲ νόσοι, πολλαί, καὶ ποικίλαι, ἄλλοτ᾽ ἐπ᾽ ἄλλον
ἐρχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι.

ΤΕΛΟΣ.

Digito compesce labellum.

Dixisse, aliquando pœnituit, tacuisse nunquam.



Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω.

עת לחשות ועת לדבר

BASILEAE, Apud Thomam Volfium.

M. D. XXXII.

LANDES- UND STADT- BIBLIOTHEK DÜSSELDORF